UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Leonis Allatii Melissolyra De Laudibus Dionysii Petavii Societatis Iesu Presbyteri

Allacci, Leone

Romae, 1653

urn:nbn:de:hbz:466:1-12823

Visual Library

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

1. Panegyricus de Institutione Collegij Germanici et Vngarici. pag. 1.

2. Le Reuolutioni di Napoli ... dal Signor Alessandro Giraffi. pag. 68

3. Guilielmi Becani è Societate IESV Idyllia et Elegiæ. — " — " — " — " 172

4. Christophori Ranzouij, Epistola ad Georgium Calixtum. — " — " — " — " 234

5. Henrici Valesij Oratio in Obitum Iacobi Sirmondi. — " — " — " — " 273

6. Leonis Allatij Melissolyra de laudibus Dionysij Petauij — " — " — " — " — " 289



X. VII. 19.

Th. 5811.

Ex legato Celsmi Principis Ferdinandi
Epi Paderb: et Monasterien.
Anno 1683.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# LEONIS
# ALLATII

a 89

## MELISSOLYRA

De Laudibus

DIONYSII PETAVII

*Societatis Iesu Presbyteri.*



ROMÆ, MDCLIII.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

290
3

Eminentissimo Principi

# FRANCISCO BARBERINO

## S. R. E. CARD. VICECANCELLARIO.

*Leo Allatius F.*

ADdecebat, Eminent.me Princeps, vt qui viuens in terris, cœlestem vitam egerat, & immortalitate digna scriptis mandauerat, in morte ad Cœlum relatus inter sidera, collocaretur in signo, cuius ille auspicijs & vitam direxerat, & scripta concinnauerat. Factum est. Petauius tuus, cuius viri & beneficijs & æquanimitate ad scribendum industriam promoueras, iam mortuus ab ijs, quibus oculorum vigor integer

eſt, Lyra facta, inter Apis tuæ vlnas conſpicitur, ſtellis conſpicuus. Quare neq; in hoc, vti nec in rebus alijs, Barberina gẽte ſuperſtite, antiquis ætatibus minores ſumus. Viderunt illæ, cũ florerent artes, & bonæ literæ, Berenices Comam, iuſte ab illa Dijs repoſitam, in Cœlo ſitam: nunc intuemur Apem, Barberinum faſtigium, & inter illius vlnas Lyram Petauium. Hoc extra humanam aleam eſt, & tamen Tuorum eſt, e terris ereptos homines inter ſidera immortalitate donare. Deus det tibi diu vitam, vt quemadmodum Terram tua beneficentia rebus nouis, ijsq; inſignibus accumulas, ita & Cœlum ſemper nouis ſtellis adaugeas.

# ΛΕΟΝΤΟΣ ΤΟΥ ΑΛΛΑΤΙΟΥ

# ΜΕΛΙΣΣΟΛΥΡΑ.

Νῦν ἀυρέων ἔληξε δυσαὴς κλόνος,
Νέφη δ' ὑπεξήλυξεν, ἔνθεν αὖ πάλιν
Λευκῇ γαλήνῃ νήνεμος γελᾷ πόλος.
Οὔ μιν ταράττει φθόγγος, οὐ θροεῖ κτύπος,
Σιγῇ δ' ἐπίσχει πάντα, ὅτε μιν φλέγει
Πρέσβυστον ἄστρον μυριάδος νυκτεμπόρου,
Πυρσοῖσιν ἀῤῥένεσσιν ἐμμεμιγμένον.
Μέσαι περῶσι νύκτες, ἐν δ' οὐρεῖ κύτει
Ῥιπαῖσι μαρμαίρουσιν ἀστέρ', ἀπ' αὐτόφιν
Ἐς γῆν φόως ἱέντα, οἷον ἥλιος
Βροτοῖς ἐπαστράπτησιν, οὗτ' αὖ περὰς πόρον
Μέσον διήκων ἤματος, πυρὸς φλόγας
Θερμὰς ἰάλλει, ὥστε καὶ ῥέα νηπίοις
Ἐνωπαδὶς παίδεσσι τερέων φάη
Λαμπρὸν φαείνει, κἀπιμεξεῖ τ' ὀμβρὲς.
Τί δ' οὐ μεταστρέψαντες ἐς πόλου πτύχας
Χ' ἡμεῖς φρόνημα, βλέμματ' ὀξιχρυσόμεθα
Τὰ κεῖθι πάντα οὔελνος κύκλος δίκην;
Αὐτὸς γὰρ, ὡς ἔοικεν, εἰσορῶ ξένον
Ἐν οὐρανῷ κάλλιστον, ὧν ἴδον ποτὲ,
Θέαμα νῦν ἐνεχθὲν, οὐκ ἂν ᾖ προτοῦ.

Καὶ δὴ νόησον, ὡς σαφῶς εἴρω λόγοις.
    Μήκιστον ἰσάθρησον ἑρπετὸν, τόπερ
Σπείραις ἀμέτροις ἄξον᾽ ἐγκυκλοῖ πόλου,
Νῶτον κάρηνι πρὸς τὸν Ἀλκείδεω πόδα,
Μέσσον ῥάχιν Κηφῆος εἰσορᾷ βαρύ.
Οὐρῇ δὲ μεῖον᾽ Ἄρκτον ἀμφίβληστρον ὡς
Τοίχων ἐέργει, τῆς δὲ μάσσονος ἅπτεται.
Δράκων δ᾽ ὅδ᾽ ἐστὶν, ὅδε δ᾽ αὖ βάσιν πήξας ποδὸς
Δράκοντος ἐς μέτωπον, ἐς ῥύγχος γόνυ
Νωθρῶς ὀκλάσας, δεξιῇ ῥόπαλον κρατῦν,
Λαιῇ λέοντος δέρμα, τόνγ᾽ αὐτὸς κτάνεν,
Ἡρακλέην φήμιξαν ἴδμονες βροτοί.
Τῷ δ᾽ αὐτὸς πτερύγεσσιν ἐξηπλωμένοις
Ἔστηκεν ὄρνις πρὸς Γαλαξίαν τρέχων,
Πτερῷ θίγων Δράκοντος, ἐς δὲ Πηγάσου
Ὁπλὰς πτέρυγ᾽ ἑὴν εἰσάγων ἀριστερὰν,
Ὃ δ᾽ ἔστι Κύκνος μήκοθεν τείνων δέρην.
    Καὶ ταῦτα μέντοι οὐ διηλλάχθη ποτὲ,
Ἀλλ᾽ ὡς τὸ πρὶν μεμένηκε μορφαῖς ἐμπέδοις.
Ὃς δ᾽ ἠστέρισται μέσος Αἰγυπτὸς λάβρος
Ἀντωπὸς Ἡρακλῆϊ, οὐ πτερῶν γόνυ
Ψαύει, πτερόν τε τανύεται ἀμφὶ μασχάλαις
Κύκνου, ἐρείδει δ᾽ αὐτοῦ πρὸς Γαλαξίαν
Ὄνυχας ποδὸς, πρὸς ἄλλο μετεστάθη δέμας,
Οὐδ᾽ οἷον εἶχε πρῶτον εἶδος ἐκφέρει.
Χεῖλη δὲ κυρτὰ, καὶ πτέροισιν ποικίλην,
Περιμήκεά τε ἀμφ᾽ αὐχένι δέρην δύπτερον,
Ποδῶν τε γναμπτὸν ἴχνος, ἀρχαίοις τρόποις
Πάντ᾽ ἐξαμείψας, εἶδος ἐμμελέστερον,

Στο-

Στολήν τε λαμπρὰν ἔστεν, ἠδ' εὐάνθεμον.
Ἴδ' ὡς σμικρύνθη κρᾶτα, καὶ ἐξωπίοις
Ὅσοις δοκοῦσι, οὐδ' ὅλως αὐχὴν πέλει.
Ὤμοις ἡ κόρση πήγνυται, πεφραγμένη
Ὅπλοις ἀραιοῖς, ὡς θέμις, ζάκοις δίκην,
Ἄτης, κακῶν θ', οἷς τρίβεται, ἀλκτηρίοις.
Πέπλοις ἔπειτα λεπτοῖς σῶμ' ἐφεσμένον
Βόμβυξ ἅτε νεκύδαλος ἐκλεπτύνεται,
Μᾶλλον δ' ἐς οὐρὰν, ἔνθα κέντρον ἐκτρέφει,
Τοῖς μηχανῶσι μόχθον ἄστοργον κακόν.
Κόλποισι δ' ἐν μέσσοισιν Ἑρμαίη Λύρη
Ὀρθὴ στέγεται στῆθος ἱζάνει, δέκα
Χορδαῖσιν ἐντείνουσα δαίδαλον μέλος.
Τούτου ἄρ' εἶδες κάλλος εὐκλεέστερον;
Μάτην παλαιῶν ἱστορεῖς φρυάγματα.
Μάτην νέων αὔχημα, τοῦτ' ὁ πολὺς λεὼς
Ἀγνωμόνως τέθηπε, τὰ φέρτατα προσδοκεῖς,
Νοῦν δ' εἰ προσβάλλεις, θαυμάτων ἐπάξια,
Καὶ ὧν οὔπω ἐσήκουσας ἐκπρεπέστερα.
Ἥρως τις, ἥρως ἐκ Θεῶν βλαστῶν γένους,
Ἄριστος εἴ τις ἄλλος, ἀνθρώποις φανεὶς,
Αὐχῶν τε πάτραν ἄξιον Λουτητίαν
ΠΕΤΑΟΥΙΩΝ ἐπώνυμος, κεκλημένος
ΔΙΟΝΥΣΣΟΣ, ὅδ' ἀπ' αἰῶνος ἔτ' ἐὼν νήπιος,
Χρόνῳ τε μείων, ἀνδρικὸν φέρβων νόον,
Γλῶσσαν τε κρέσσω, χαῖρε φράσσας ἀφθόνοις
Κτήμασιν, ἀφνειαῖς τε προσκρούσας τύχαις,
Καὶ πάνθ', ἃ θαυμάζουσι φῶτες ἀφρόνως,
Κλ.ιστὸς, φρένας τε καὶ ῥέθη δεδμημένος,

Θεῷ προσοίσω ἐνόρκιον τελέσας λόγον,
Βουλαῖς ἀληθέεσσι, μήποθ', ἕως βίον
Τείνω, πρὸς ἄλλον ἐξαφιστάναι σκοπόν,
Μένειν δ' ἐν ᾧ προσεῖλετ' αἰὲν ἔμπεδον.
Ζεῦγλαν δὲ δούλιον ἐντεθηκὼς αὐχένι,
Μόνῳ Θεῷ θήτευε πιστὸς δεσπότῃ.
Τῷ καὶ ῥάκη ἔεσσατο λυπρά, καὶ βορᾶς
Οὐχ ἧττις ἀρκέσειεν, ἀλλὰ μὴ θανεῖν,
Ἅπαξ ἐπωφέλημα τοιοῦτόν τι ἦν.
Χαμαὶ δὲ κεῖτο, θλῖβε καὶ δεσμοῖς μέλη,
Πληγαῖς τε θεῖν' ἀρκέσιν, τοὐναντίον
Ἅπαν ὑποδρῶν, ὧν περ ἤρατ', ἀμφαδόν.
Καὶ ταῦτα μὲν τέτευχεν αὐτός, ὃν δέμας
Πολυφθόροις τείρων τε, κἀκάχων βίαις.
Ὡς γοῦν τὸ δ' ἄλλοις ξύμφορος, εὔχρηστός τε κυρῶν
Ἔργῳ, λόγῳ, βουλῇ, τίς ἂν αὐδάσοι σαφῶς;
Τάδ' ἐστὶν ἄλλης ξυγγραφῆς, ἄλλων λόγων.
Ἐμὸν δὲ κάρτος ἀδρανές, σμικρὸς νόος,
Οὐδ' ἶσον ἄραι φορτίον γ' ὤμοις σθένω.
Τῷ καὶ ἐπ' ἄλλην ὁδὸν ἴχνος τρεπτέον,
Ἔνθ' αὖτις ὀρθῶν εὐκλεεστέρους τρέχοι.
Αἰὼν ἀλωφήτοισιν ἱππεύων δρόμοις,
Ἀψῖσ' ἕλιξι δηρὸν ἐκκυκλούμενος,
Παρῆλθε μακρός, κἀναρίθμητος θέων
Ἔκρυψε πάντα, καὶ βαθεῖ στέγων σκότῳ
Ἐκ φάεος ὦσεν ἐκβαλών. οὐδ' αὖ λόγος
Ἔργων ἔτ' ἔσκεν, οὐδὲ κρείων σαφής.
Ἄνω κάτω σύμφυρτος ἀνθρώπων βίος
Συγχεῖτο, θηρῶν πολλὸν ἐξωλέστερον.

Ὁδ'

Ὁ δ' αὖ μετρήσας στῆσεν ὡρέων δρόμους,
Καιρούς τ' ἰσώσας ἀπλανέεσι πυκτίοις,
Ὅρον τε θεὶς ἄψευστον ἴδμοσιν τέχναις,
Ἔθηκε δῆλα τάγ' ἦν κεκρυμμένα πρὸ τοῦ.
Καὶ νῦν ὁρῶσιν οὐδὲν ἧσσον ὄμμασιν
Βροτοὶ αὐτοῦ θ' ἐόντες, ἤδ' ἑκαστάτω
Πολλὸν βιοῦντες ἤπερ οἱ ἐγγὺς μάλα
Κοῦν' εἰσάθρησαν, κἀμπόλησαν τετράκις,
Καὶ τρίς. Θηρῶσιν ἐν ὄρεσ' οἰνηρῆς Χίου,
Πέρδικας ἔμμεν, ἔθνος ἀγελαιώτατον,
Παντᾷ διασταθέντα τε, κ' ἐξορχούμενα,
Ἄλλοις ἐπ' ἄλλοις ἄλγεσιν σοβοῦν πόδα.
Οὐδ' ἔστι πως βέβαιον διαγρῶν ἀνὴρ
Ἴχνος φυλάξαι δῆλον, οἷος νιν στροβεῖ
Δίναις ἀπαύστοις ἔκποτος πόδας πόθος.
Ἐπεὶ δ' ἐπῳδαῖς καὶ βροτῶν ἄλλαις φράδαις
Φωναῖς ὑπείκειν δεσπότου περίφρων μάθῃ,
Κύων τις ὅστε συνακόλουθος, ἀείποτε
Πόλει τε, κἀγορᾷ τε συμπαρὼν ἔτης.
Οὕτω χρόνου προσεῖρπεν ἀστατούμενα
Ἄγνωστα πᾶσιν ἔργ', ἐπεὶ δ' αὖ σοφαῖς
ΠΕΤΑΟΥΙΟΥ τέχναισι μειλίχθη, τότε
Ἔπλετο βροτοῖσιν εὔμετρη τε καὶ βατά.
Τόλμημα δεινὸν, ἀλλὰ τοῦδ' ἀνασχετὸν.
Ὥσπερ γ' ἅλαισιν ἐξάγων πλανωμένους
Κακῆς κελεύθου ἐς τρίβον ἀπλανῆ βάλεν.
Καὶ ταῦτα μέντοι πρὸς διόρθωσιν χρόνων,
Οἷς καὶ χρόνων ἔθηκεν ἀναγραφὰς, χρέη
Χρόνοις ἰσώσας, κἀναμετρήσας τὸ πᾶν.

Σιγῶ-

Σιγῶ δὲ τἄλλα τοῖσι πέφρακε στόμα
Ἀνδρῶν ἀπίστων, καὶ κακεμφάτων ὅλως,
Οἳ ψευδέσιν τέγξαντες αἱμύλοις λόγον
Ψυχῆς ὄλεθρον ἤγαγον νηπίοις βροτοῖς.
Ἐρῶ δ' ἐκεῖνο θαῦμα θαυμάτων αἴω,
Ὃ καὶ σέβας δίδωσι καὶ δόξην ὁμῶς.
Τὸ καὶ πόνοις ἄντλησεν ἐμπεράκτοις μόγις,
Καὶ τέρμα θῆκε, πρῆγμα τελεστήσας μέγα.
Ἐκ γὰρ μεγίστων καὶ σοφῶν Διδασκάλων,
Οἳ πνεύματός γ' ἔμπλεω ζωαρκέος
Σοφίης κέρασαν νᾶμα πουλυΐδμονος
Ἑαῖς βροτοῖς δέλτοισι, δρέψας αὔθεαι,
Τεῦξεν λοχείην πάνσοφον δικάρπων φυτῶν.
Ὅθεν πιών τις χανδὸν ηὐφράνθη κέαρ,
Θνηταῖς τε φρεσὶ προεὶς σέλας ἀκηράτοις
Ἰθυδρομήσας, θεῖον εἰσαθρεῖ, τά τε
Κείνῳ προσιζάνοντα Πνεῦμα, καὶ Γόνον
Ἐφικτὸν ὡς ἔνεστιν, ἀνθρώπου φύσει,
Καὶ τἄλλα πάντα πίστεως μυστήρια,
Χριστὸς τάπερ φύτευσε, καὶ χαρίσατο
Φῶς' ἀδρανέεσιν ἔμμεναι σωτήρια.
Εἰδ' αὖ τις εἴπῃ βίβλον ἀρραγὲς βάθρον,
Καὶ καλλίνικον ὅπλον ἀντιβίοις βαρὺ,
Τἀληθὲς εἶπον, οὐκ ἂν ἐξαμαρτάνοι.
Κείνῃ γὰρ αὐθέντες αἱρέσεων φίλοι
Πανοπλίαν ῥίπτουσι, καὶ πεφυζότες
Πελειάδες ὡς, φανέντος ἴρηκος ποθέν,
Οἶκον δὲ νωτίζουσιν ὑποδρόμοις ποσίν.
Τί δὴ τὸ λοιπόν; εὐθέως πεπνυμένοι

Μαθη-

Μαθητιῶσι μὲν οὐρανοῦ πρόμον σέβειν
Θεσμοῖς θ' ὑπείκειν πατρικοῖς. ναὶ μὴν δὲ καὶ
Ἐσθῆτα ἱερέων ἀντικηδεύειν Θεοῦ.
Πόνους δὲ μόχθοις συγκαταζευγνὺς, μέλη
Ἄϋπνος, οὐδ' ἀναπαυσάμενος τετρυμμένα,
Κάλλιστον ἔργον αὐτὸς ἐξεργάζεται,
Ἐπ' ἔργμασ' ἀκτὴν ἐργμάτων τιθεὶς καλῶν.
Καὶ γὰρ Μελῳδοῦ ποικιλοστρόφοις νόμους
Αὐλῷ τε, καὶ φόρμιγγι, πλήκτρῳ χρυσέῳ,
Ἄλλοισι τ' ὀρθωθέντας ὀργάνοις, πλέως
Ὀμφῆς μέδοντος ἐνθέου, οὓς Δαυὶδ κάμε
Τεύχων, ὅδ' αὐτὸς ὤπ' ἐς ἄλλην ἁρμόσας,
Περασορπάτοις ἔδειξεν ἐν δεσμοῖς μέτρων
Ἡρωϊκῶν, ὄπα ἠπύειν Ἑλληνίδα,
Οἵανπερ οὐκ ἤχησεν Ἀτθὶς εὔλαλος,
Οὐδ' ἄλλος ὄχλος ἄπειρος εὐγλώσσων βροτῶν.
Σίγησον Ὀρφεῦ. ποῦ μάτην ᾠδαῖς πέτρους;
Αἰθαῖς ἀράχναις, ἔργον, Ἀμφίων, γλύφη
Τεὴ προκείσθω, ἀγκρεμασθεῖσ' ἑστίαις.
Κλυτῆς Ὅμηρ' εὔκλεια πάσης Ἑλλάδος,
Σὺ δευτέρη τε μοῦσ' Ἁλικαρνασσοῦ γέρων,
Ἀηδόνες τ' ἄλλαι τε σύνδικοι λόγοις
Μούσαις, Ἀχαιῶν οἷς ἐφείργασται στόμα,
Ἐπὰν ΠΕΤΑΟΥΙΟΙΟ ῥυθμοὶ πρὸς χέρας
Φωτὸς ἐσῆλθον, φροῦδα κῦδεεν πέλει,
Ἄσσ' ὔμμες ἐγκονοῦντες ἁδρῶς πυκτίοις
Ἄκραντα γηρύσασθε. καὶ γὰρ ἡλίου
Λάμψαντος ἄστρα τὰ λοιπὰ συγκαλύπτεται.
Ὅδ' ἐστὶν ὅστις χρησιμώτατος γεγὼς

Ἐρ-

Ἔργοισι καὶ λόγοισι τόσοις ἐν χρόνοις
Γένει βροτείῳ, νῦν μεταλλάξας στάσιν,
Λιπών τε γαῖαν, αἰθεροδρόμος τρέχων,
Ἐς παμφαὲς κάρηνον οὐρανοῦ φθάνει,
Ὃν καρδίῃ μέλιασε, κοιράνῳ σιμῶν,
Δόξῃ τε κείνου δεξιούμενος θαμὰ,
Βίον προσάξει οὐ μετρουμένοις χρόνοις.
Καὶ ταῦτα μὲν ἰῶ κατ' οὖρον ἐξειργασμένα.
Ἐπεὶ δὲ τοῖς δ' ἐν ἄθλοισιν οὐκ ὀλίγη μερὶς
Ἄλλοις ἔτ' ἐστὶν, οἵ τ' ἐγκονοῦνται δὴ,
Σπεύδοντά τ' ἠνάγκασαν αἰσίως ἑλεῖν,
Μελέταισι φρύγανα ὑποτιθέντες, ὡς λόγος,
Ἵκει με χρεὼ καὶ τάδ' ἐνείρειν νουνεχῶς.
Πόλις τὶς, ἢ τέραμνον, ἢ πολυαστερὲς
Σχεδόν τε καὶ μήκιστον ἐξῳκισμένον
Γένος, κλεηδόνων τε κ' ἄλλων ἑρμάτων
Πέλει γενέθλης ΒΑΡΒΕΡΙΝΗΣ ἀνήκοον;
Ἣν τὶς πόλεως ἔρεισμα, καὶ ὄμμα ξένοις
Φαεννὸν αὐδήσειεν, οὐκ ἂν ἐκπέσοι
Σφαλεὶς ἀληθοῦς. καὶ γὰρ εὐπροσηγόροις
Φρένεσσι θέλξε πάντας, ἠδὲ νῦν ἔχει
Θέλγει τε καὶ προσπτύσσεται πτωχοὺς, φίλους,
Ἀστοὺς, ἐπακτοὺς, ἵστορας, λυπουμένους,
Οἷς οὐκ ἔνεστιν ἰσχὺς, αὐτὴ προσφόρως
Διδοῖ, θαλάσσας ἐκχέουσα χρημάτων,
Μᾶλλον ἢ ποροῦσα τοῖς πεπνυμένοις,
Ὅπως λαβόντες ἀντιδοῖεν, ἠδ' ἑὸν,
Ὃν ἔνδον ἴσχουσ' ὄλβον, ἀφθόνῳ χερὶ
Ἄλλοις παρέχοιεν, οὐδ' ἀποκρύπτοιεν ποτὲ

Κα-

Κλαυθμῶσ᾽, ἐπ᾽ ἐσθλοῖς ἀλλοτρίοις ζηλήμονες.
Οὕτως μὲν ὠρθώσαντο μοχθηροὺς τρόπους,
Πρᾴως διαλλάξαντες, ἐκ δ᾽ ἀμηχάνων
Ἐς εὐχερῆ τρέψαντες ἀνθρώπων φύσιν,
Δίδαξιν ἀγάλλεσθ᾽ ὀργίοις μυστῶν κέαρ,
Ὧν τ᾽ οὐκ ἔχον μάθησιν, ἰδρείην πόρον.
Καὶ πρὶν μὲν ὄντ᾽ οὐκ αἰνέτ᾽ ἐπ᾽ ἐναισίμοις
Μήδεσι καὶ μύθοισιν, εὐεργέος ἅτε
Λώπεσιν ἀμφιβαλόντες, ἔρξαν αἰνετά.
Τάδ᾽ ὄντα φαρέων αἰνέτ᾽ εὐκλεεστέροις
Πέπλοισι κοσμήσαντες αἰνετώτερα
Θῆκαντ᾽, ὄνειαρ ξυμφορώτατον βροτοῖς.
Εἰ δ᾽ αὖ τις εὖχος, ΟΥΡΒΑΝΟΥ τ᾽ ἐσθλώματα
Πρὸς τοῖσδ᾽ ἐνίσπειν γλῶσσαν ὁρμήσῃ, ὅπως ἂν
Μετρῶν θαλάσσας, ὕδατος ἐξείποι σαφῶς
Σταγόνων ἀριθμὸν, ἢ ψαμάθου εἰλυμένου
Πόντου παρ᾽ ἀκτὰς, ἀεροδρόμων πτερά,
Δένδρων τε φύλλ᾽ ἄπειρα, κεῖνος ἠπύσῃ,
Ὅσ᾽ ἀγαθὰ ἔοργεν ΟΥΡΒΑΝΟΣ γ᾽ οἰκουμένην,
Τρέφων, ποτίζων, περὶς τε θησαυροὺς χέων
Χρυσοῦ τε κἀργύροιο, καὶ γὰρ ἄφθονα
Παρῆν, κεχρημένοισι μὲν, ὅπως τοὐνδεὲς
Καλοῖς ἐνιπλήσωσι, τοῖς κεκτημένοις,
Ἵν᾽ ἀφθονεστέροισι χρήσωνται, ἰδ᾽ αὖ
Αὐτοῖς καταχρήσωνται, ᾗ περ ἦν φίλον.
Πλοῦτος γὰρ, ὃς κάρτιστος ἐν τιμαῖς κυρεῖ
Ἄλλοις παρ᾽ ἀνθρώποισιν, αὐτῷ δ᾽ ὡς κόνις,
Σκιᾶς τ᾽ ὄνειρος πέτ᾽, οὐδὲ γάρ ποτε
Τάδ᾽ οὐδὲ βαιὸν ἠγάσατο κῆρ ὑπέρκοπον.

Τῶν δ' ὠφελειῶν εἵνεκ' ὁ κρατὴρ πόλου
Ὄρνιθ' ἀπώζας τρερέων ληΐστορα,
Φοραῖς ἕτοιμον, καὶ κλοπῶν ὑπηρέτην,
Ἐμῶν ἀνάκτων σύμβολον οὐλυμπόν δ' ἄγει,
Ἀκηράτοιο νέκταρος ἐργάτην σοφὴν
Μέλισσαν, ἄκροις νώτοισιν ἐμπήξας πόλου,
Πάντεσσ' ὁρᾶσι σῆμα χρεὸς ὑψίνου,
Μηδέων τ' ἀχράντων ἔμμεναι μάλ' ἀριφραδὲς.
Αὐτὴ δὲ ναίουσ' ἑδράνοις ὀλυμπίοις,
Καλοῖς ἐπ' ὀλβίστοισι πάντ' εὐδαιμονεῖς.
Γελῶσα γαίης τερπνὰ, τάπερ θοαῖς ἅτε
Νεὼς κατέκλυσε λαῖφος ἐμπνέων βαρὺς
Οἴδμασιν ἔρος, σύνδικος φίλης τύχης,
Ἄλλοισιν ἀφθόνητος, αὐτὰρ ἥδυμον
Μέλισσ' ἐμοὶ μέλημα, καὶ κληδὼν πόνων.
Ὅπως δὲ καὶ δέξαιτ' ὁ θανὼν τὰ νῦν φίλος
Δράζας παθῶν τ' εὖ, ἀντιμοιβὴν ἄφθονον,
Κόλποισιν ἐμπέπηγε σοῖς μεσαιτάτοις
Λύρη γεγῶσα χρυσέη χορδῶν δέκα,
Πάμφωνος, ἐντελής τε, καὶ μουσῶν ἔρος.
Καὶ γὰρ βίους, θανών τε σῆς μεληδόνος
ΠΕΤΑΟΥΙΟΣ, πέδῳ τε κ' οὐλύμπῳ κυρῶν,
Ἐπαισθάνεται, ἵν' ἀβλαβής τε καὶ ζόος,
Ὄφρ' ἀστέρων αἴγλαισιν οὐρανὸς φλέγει.
Ὅπως δὲ γνώσῃ καὶ σαφέστερον τάδε,
Ἐπισκόποις ἄθρησον, οἷς ἔργον τόσον,
Κῆδός τε δῖον μέμβλεται, ὡς νύχθ' ὅλην
Ἦμαρ τ' ἀύπνοις ὄμμασιν ἵστανται πικροί,
Φρουροῦντες, ὄφρα μήπως ὀρφναίῳ δόλῳ

Λα-

Λάθρ' εἰσπεσὼν καλοῖσι πημανεῖ πόρῃ.
Καὶ γὰρ Δράκων ῥοῖζοντα περιθήγων μέγαν,
Σύσεισμα τ' ἔνθοις ἐκ γλύφου περιεὶς τρεῖν,
Αἴρει κάρηνον ὀρθὸν, ἐς θ' Ἡρακλέους
Ἴχνος τίθησι λαιὸν, ἐμφερέστατον τρίβον,
Μήπως τι δήλημ' ἐλθὸν ἀέλπιστον λάθῃ.
Αὐτὰρ δ' ἔλασσον, ἢ πλέον μηδὲν μέλει
Μήλων τε χρυσῶν, Ζωὰς, ἢ ψυχῆς πέρι,
Μέρος δ' ἐπ' ἄλλο γοῦνα προσκλίνας πέδῳ
Αἴρει πρὸς ὕψος πῆχυν Ἀλκείδης, κρατῶν
Ῥόπαλον ἀραγὲς δεξιᾷ, λαιὰν δὲ πρὸς
Μέλισσαν ἴσχει, συμμαχῶν ὅσον σθένος,
Χεῖται δ' ἐπ' ἄλλο Κύκνος ἐγκυκλῶν μέρος.
Ὠιδῆς δ' ἀκούεις ὡς μελίθρεος πέλει;
Ὡς ὠάτεσσιν ἡδύς; ἔστι δ' αὖ μέλος
Κλεινῆς Μελίσσης καὶ Λύρης συνεστίου
Αἴνους ἀεῖδον, ὡς ἔοικ', εὐθημόνως.
Οὐρῇ δ' ἐπαρκεῖ περιτρέχων Γαλαξίαις,
Ὄφιν κρατοῦντος ἐς κάρηνον ἐκρέων,
Ἀντωπὸν ἀθρεῖν πρὸς κάρην Ἡρακλέους.
Ὧδ' ὡς ὁρᾷς Μέλισσα σὺν καλῇ Λύρᾳ
Μέση κυκλεῖται πάντοθεν ἐπεσκεμμένη,
Φρουροῖς ἀΰπνοις, καὶ στερροῖς ἐπιστάταις,
Ἵν' ἐς χρόνους ἅπαντας ἀσκηθὴς, βροτοῖς
Πάντεσσιν εἴη σῆμ' ἐπιδέξιον, καλὰ
Φαῖνον τε, σημαῖνόν τε, ὡς Ἶρις νέα
Κλυσμὸν ἀπαλλάξασα πικρῶν γηγενεῖς.
Ἤυχει ποθ' Ἑλλὰς ἐμπρέπουσα μηχανῶν
Ἄκροις ἀώτοις, καὶ πανσόφων λόγοις,

Ο'

Ὅτ᾽ ἄρ Κόνων ἔβλεψε βοστρύχου πλόκον
Ἄστροις συνομιλοῦντ᾽, εἰσόκ᾽ ἔλθῃ ἡμέρας
Ποθεινὸν ὄμμα, μελάμπεπλον σκεδῶν κνέφας.
Νῦν πάντα δ᾽ αὖτ᾽ ἄριστα φῶς᾽ εὐδαιμονεῖ
Μουσῶν ἀποίνοις, τεχνέων τ᾽ ἄλλων φράδαις,
Τέλεσι, δώροις τ᾽ ἀπλέτοις ΒΑΡΒΗΡΙΝΩΝ,
Οἷς ὀξὺ βλέμμα, νοῦς τ᾽ ἀπείρατος φθόνου,
Ἐν αἰθέρος λάουσιν ἀμφαδὸν κύτει
Νέαν Μέλισσαν, ὡς ἔφην, εἰλουμένην,
Ἔχουσαν ἀντὶ χρῆμα δεκαχόρδου Λύρας,
Βορρᾶ πρὸς ἰθυώρου εὔδρομον πτίλον,
Φύλαξι προσμέλουσ᾽ ἀρρήκτοις μύθος.
Ὦ κῦδος, ὦ τίμημα, λαμπρὸν ὦ φάος
ΒΑΡΒΗΡΙΝΟΙΣΙΝ ἠράνοις ἐμοῖς δοθὲν,
Οἷς πιστὸς ἠδὲ τίμιος ΠΕΤΑΟΥΙΟΣ
Κεῖτ᾽ ἀγκάλαισι, θησαυρίσμασιν πολύς.
Ἆρ᾽ εἶδες, ἆρ᾽ ἤκουσας ἀξιώτερον
Οὔπω βροτοῖσι κῦδος, ἢ ἀμοιβὴν πόνων;
Ὅρμησον ἰθὺς καὶ προσδέχου τε πόνους;
Ζῆσον βίον τ᾽ ἀνδράσιν ὡς ἀγαθοῖς πρέπει,
Θέμις θ᾽ ὁρίζει, θεσμά τ᾽ ἀνθρώπων λέγει,
Ὅπως κράτιστος ἐν λόγοις, κ᾽ ἔργοις φανείς,
Ἴσῳ κάρηνον ἀμφιβληθήσῃ στέφει.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Becanus

Th
5811

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN